κλῇδές τ᾽ ἀνῆκαν θύρετρ᾽ ἄνευ θνητῆς χερός.
πολλῶν δ᾽ ὅδ᾽ ἀνὴρ θαυμάτων ἥκει πλέως
ἐς τάσδε Θήβας. σοὶ δὲ τἆλλα χρὴ μέλειν.

ΠΕ. μέθεσθε χειρῶν τοῦδ᾽· ἐν ἄρκυσιν γὰρ ὢν
οὐκ ἔστιν οὕτως ὠκὺς ὥστε μ᾽ ἐκφυγεῖν.
ἀτὰρ τὸ μὲν σῶμ᾽ οὐκ ἄμορφος εἶ, ξένε,
ὡς ἐς γυναῖκας, ἐφ᾽ ὅπερ ἐς Θήβας πάρει.
πλόκαμός τε γάρ σου ταναός, οὐ πάλης ὕπο,
γένυν παρ᾽ αὐτὴν κεχυμένος, πόθου πλέως·
λευκὴν δὲ χροιὰν ἐκ παρασκευῆς ἔχεις,
οὐχ ἡλίου βολαῖσιν, ἀλλ᾽ ὑπὸ σκιᾶς,
τὴν Ἀφροδίτην καλλονῇ θηρώμενος.
πρῶτον μὲν οὖν μοι λέξον ὅστις εἶ γένος.

ΔΙ. οὐκ ὄκνος οὐδείς· ῥᾴδιον δ᾽ εἰπεῖν τόδε.
τὸν ἀνθεμώδη Τμῶλον οἶσθά που κλύων;

ΠΕ. οἶδ᾽, ὃς τὸ Σάρδεων ἄστυ περιβάλλει κύκλῳ.

ΔΙ. ἐντεῦθέν εἰμι, Λυδία δέ μοι πατρίς.

ΠΕ. πόθεν δὲ τελετὰς τάσδ᾽ ἄγεις ἐς Ἑλλάδα;

ΔΙ. Διόνυσος αὐτός μ᾽ εἰσέβησ᾽, ὁ τοῦ Διός.

ΠΕ. Ζεὺς δ᾽ ἔστ᾽ ἐκεῖ τις, ὃς νέους τίκτει θεούς;

ΔΙ. οὔκ, ἀλλὰ Σεμέλην ἐνθάδ᾽ ἔζευξεν γάμοις.

ΠΕ. πότερα δὲ νύκτωρ σ᾽ ἢ κατ᾽ ὄμμ᾽ ἠνάγκασεν;

ΔΙ. ὁρῶν ὁρῶντα, καὶ δίδωσιν ὄργια.

ΠΕ. τὰ δ᾽ ὄργι᾽ ἐστὶ τίν᾽ ἰδέαν ἔχοντά σοι;

ΔΙ. ἄρρητ᾽ ἀβακχεύτοισιν εἰδέναι βροτῶν.

ΠΕ. ἔχει δ᾽ ὄνησιν τοῖσι θύουσιν τίνα;

ΔΙ. οὐ θέμις ἀκοῦσαί σ᾽, ἔστι δ᾽ ἄξι᾽ εἰδέναι.

ΠΕ. εὖ τοῦτ᾽ ἐκιβδήλευσας, ἵν᾽ ἀκοῦσαι θέλω.

ΔΙ. ἀσέβειαν ἀσκοῦντ᾽ ὄργι᾽ ἐχθαίρει θεοῦ.